ΜΕ. ἰδίᾳ πρὸς ἐχθρῶν ἢ πρὸς Ἀργείας χερός;
ΟΡ. πάντων πρὸς ἀστῶν, ὥς θάνω· βραχὺς λόγος.
ΜΕ. ὦ μέλεος, ἥκεις συμφορᾶς εἰς τοὔσχατον.
ΟΡ. εἰς σ᾽ ἐλπὶς ἡμὶν καταφυγὰς ἔχει κακῶν.
ἀλλ᾽ ἀθλίως πράσσουσιν εὐτυχὴς μολὼν
μετάδος φίλοισι σοῖσι σῆς εὐπραξίας,
καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
ἀλλ᾽ ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει,
χάριτας πατρῴας ἐκτίνων ἐς οὓς σε δεῖ.
ὄνομα γάρ, ἔργον δ᾽ οὐκ ἔχουσιν οἱ φίλοι
οἱ μὴ ᾽πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.
ΧΟ. καὶ μὴν γέροντι δεῦρ᾽ ἁμιλλᾶται ποδὶ
ὁ Σπαρτιάτης Τυνδάρεως, μελάμπεπλος
κουρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.
ΟΡ. ἀπωλόμην, Μενέλαε· Τυνδάρεως ὅδε
στείχει πρὸς ἡμᾶς, οὗ μάλιστ᾽ αἰδώς μ᾽ ἔχει
εἰς ὄμματ᾽ ἐλθεῖν τοῖσιν ἐξειργασμένοις.
καὶ γάρ μ᾽ ἔθρεψε μικρὸν ὄντα, πολλὰ δὲ
φιλήματ᾽ ἐξέπλησε, τὸν Ἀγαμέμνονος
παῖδ᾽ ἀγκάλαισι περιφέρων, Λήδα θ᾽ ἅμα,
τιμῶντέ μ᾽ οὐδὲν ἧσσον ἢ Διοσκόρω·
οἷς, ὦ τάλαινα καρδία ψυχή τ᾽ ἐμή,
ἀπέδωκ᾽ ἀμοιβὰς οὐ καλάς. τίνα σκότον
λάβω προσώπῳ; ποῖον ἐπίπροσθεν νέφος
θῶμαι, γέροντος ὀμμάτων φεύγων κόρας;
ΤΥ. ποῦ ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόσιν,
Μενέλαον; ἐπὶ γὰρ τῷ Κλυταιμνήστρας τάφῳ
χοὰς χεόμενος ἔκλυον ὡς εἰς Ναυπλίαν
ἥκοι σὺν ἀλόχῳ πολυετὴς σεσῳσμένος.
ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
στὰς ἀσπάσασθαι, χρόνιος εἰσιδὼν φίλον.
ΜΕ. ὦ πρέσβυ, χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.
ΤΥ. ὦ χαῖρε καὶ σύ, Μενέλεως, κήδευμ᾽ ἐμόν.

445. ἀργείων χερός γρ. χθονός B 447. πρός c 461. ἡμαρτημένοις B 467. ἀποδέδωκ᾽ C 473. ἥκει FC 475. χρόνιος A χρόνιον ceteri.